οὖν. ΣΩ. Φέρε δὴ, πειρώμεθά σοι εἰπεῖν, τί ἐστι σχῆμα. σκόπει οὖν, εἰ τόδε ἀποδέχῃ αὐτὸ εἶναι. ἔστω γὰρ δὴ ἡμῖν τοῦτο τὸ σχῆμα, ὃ μόνον τῶν ὄντων τυγχάνει χρώματι ἀεὶ ἑπόμενον. ἱκανῶς σοι; ἢ ἄλλως πως ζητεῖς; ἐγὼ γὰρ κἂν οὕτως ἀγαπῴην, εἴ μοι ἀρετὴν εἴποις. ΜΕ. Ἀλλὰ τοῦτο γε εὔηθες, ὦ Σώκρατες. ΣΩ. Πῶς λέγεις; ΜΕ. Ὅτι σχῆμά που ἐστὶ κατὰ τὸν σὸν λόγον, ὃ ἀεὶ χρόᾳ ἕπεται. ΣΩ. Εἶεν. ΜΕ. Εἰ δὲ δὴ τὴν χρόαν τὶς μὴ φαίη εἰδέναι, ἀλλὰ ὡσαύτως ἀποροῖ, ὥσπερ περὶ τοῦ σχήματος· τί ἂν οἴει σοι ἀποκεκρίσθαι; ΣΩ. Τἀληθῆ ἔγωγε. καὶ εἰ μέν γε τῶν σοφῶν τις εἴη καὶ ἐριστικῶν τε καὶ ἀγωνιστικῶν ὁ ἐρόμενος, εἴποιμ' ἂν αὐτῷ. ὅτι ἐμοὶ μὲν εἴρηται· εἰ δὲ μὴ ὀρθῶς λέγω, σὸν ἔργον λαμβάνειν λόγον καὶ ἐλέγχειν. εἰ δὲ, ὥσπερ ἐγώ τε καὶ σὺ νυνί, φίλοι ὄντες, βούλοιντο ἀλλήλοις διαλέγεσθαι, δεῖ δὴ πρᾳότερόν πως καὶ διαλεκτικώτερον ἀποκρίνεσθαι. ἔστι δὲ ἴσως τὸ διαλεκτικώτερον, μὴ μόνον τἀληθῆ ἀποκρίνεσθαι, ἀλλὰ καὶ δι' ἐκείνων, ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος. πειράσομαι δὴ καὶ ἐγώ σοι οὕτως εἰπεῖν. λέγε γάρ μοι. τελευτὴν καλεῖς τι, τοιόνδε λέγων οἷον πέρας καὶ ἔσχατον; πάντα ταῦτα, ταυτόν τι λέγω. ἴσως δ' ἂν ἡμῖν Πρόδικος διαφέροιτο. ἀλλὰ σύ γε που καλεῖς πεπεράνθαι τὶ καὶ τετελευτηκέναι; τὸ τοιοῦτον βούλομαι λέγειν, οὐδὲν ποικίλον. ΜΕ. Ἀλλὰ καλῶ· καὶ οἶμαι μανθάνειν ὃ λέγεις. ΣΩ. Τό δ' ἐπίπεδον καλεῖς τι, καὶ ἕτερον αὖ, στερεὸν, οἷον ταῦτα τὰ ἐν γεωμετρίαις; ΜΕ. Ἔγωγε καλῶ. ΣΩ. Ἤδη τοίνυν ἂν μανθάνοις μου ἐκ τούτων σχῆμα ὃ λέγω. κατὰ γὰρ παντὸς σχήματος τοῦτο λέγω, εἰς ὃ τὸ στερεὸν περαίνει, τοῦτ'

εἶναι

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id366889583/16 gefördert von der Deutschen Forschungsgemeinschaft DFG